Ακαδημία Αθηνών / Academy of Athens

# Φ

**φαγέδαινα.** Καρκῖνος/καρκίνωμα, cancer/carcinoma, Δημόκριτος 281 *ὥσπερ [ἐν μὲν] τοῖς ἕλκεσι φ α γ έ δ α ι ν α κάκιστον νόσημα.*

**φαέθων.** Λάμπων/θαμβωτικός, brilliant/dazzling, Ἐμπεδοκλῆς 115.11 *πόντος δ' ἐς χθονὸς οὖδας ἀπέπτυσε, γαῖα δ' ἐς αὐγὰς ἠελίου φ α έ θ ο ν τ ο ς.*

**φαίνειν.** Φανερώνω/ἀποκαλύπτω, reveal, Ξενοφάνης 36 *ὁππόσα δὴ θνητοῖσι π ε φ ή ν α σ ι ν εἰσοράασθαι.*||**φαίνεσθαι 1.** Φαίνομαι/καταφαίνομαι, be apparent/be clear, Φιλόλαος 2.3-10 *ἐπεὶ τοίνυν φ α ί ν ε τ α ι οὔτ' ἐκ περαινόντων πάντων ἐόντα οὔτ' ἐξ ἀπείρων πάντων ... τὰ δ' ἐξ ἀπείρων ἄπειρα φ α ν έ ο ν τ α ι* Διογένης 2.4 *γῆ καὶ ὕδωρ καὶ ἀὴρ καὶ πῦρ καὶ τὰ ἄλλα ὅσα φ α ί ν ε τ α ι ἐν τῷδε τῷ κόσμῳ ἐόντα.*||Διογένης 6.27-35 *αἱ δ' εἰς τὴν κεφαλὴν τείνουσαι διὰ τῶν σφαγῶν (sc. φλέβες) φ α ί ν ο ν τ α ι ἐν τῷ αὐχένι μεγάλαι ... καὶ φ α ί ν ο ν τ α ι παρά τε τὴν σπληνῖτιν καὶ τὴν ἡπατῖτιν ἕτεραι ὀλίγον ἐλάττους* **2.** Φαίνομαι/γίνομαι αἰσθητός, appear/become sensible, Δημόκριτος A 130 (DK II 113, 34) *εἰ καὶ μὴ πᾶσιν ὁ αὐτὸς* (sc. χυμός) *ὁμοίως φ α ί ν ε τ α ι* Ἀρχύτας 1.26 *ὀξέα φ α ί ν ε τ α ι, τὰ δὲ ... βαρέα δοκοῦντι ἦμεν* **3.** Φαίνομαι/θεωροῦμαι, seem/be considered, Δημόκριτος 191.12 *ὅκως ἂν τὰ παρεόντα σοι καὶ ὑπάρχοντα μεγάλα καὶ ζηλωτὰ φ α ί ν η τ α ι* **4.** Φαίνομαι/ἀποδεικνύομαι, show/be proved, Δημόκριτος 181 *κρείσσων ἐπ' ἀρετὴν φ α ν ε ῖ τ α ι προτροπῇ χρώμενος καὶ λόγου πειθοῖ ἤπερ νόμῳ καὶ ἀνάγκῃ.* || **τὰ φαινόμενα.** Τὰ φαινόμενα, the apparent, Ἀναξαγόρας 21a *ὄψις γὰρ τῶν ἀδήλων τὰ φ α ι ν ό μ ε ν α.*

**φάναι** (*συνών. λέγειν, φάσκειν, φθέγγεσθαι, φράζειν, φατίζειν, φωνεῖν*) **1.** Λέγω/ἐκφράζω, say/express, Ξενοφάνης 7.3 *τόδε φ ά-*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

*σ θ α ι* ἔπος Παρμενίδης 1.23 *ὧδε δ' ἔπος φ ά τ ο καί με προσηύδα* 8.8 *οὐδ' ἐκ μὴ ἐόντος ἐάσσω φ ά σ θ α ι σ' οὐδὲ νοεῖν. οὐ γὰρ φατὸν οὐδὲ νοητὸν ἔστιν ὅπως οὐκ ἔστι* **2.** Λέγω/ὑπόσχομαι, promise, Ξενοφάνης 1.5 *ἄλλος δ' οἶνος ἕτοιμος, ὅς οὔποτέ φ η σ ι προδώσειν, μείλιχος ἐν κεράμοισ' ἄνθεος ὀζόμενος* **3.** Λέγω/διακηρύσσω, declare/announce, Ἡράκλειτος 121.4 *ἄξιον Ἐφεσίοις ἡβηδὸν ἀπάγξασθαι πᾶσι ... οἵτινες Ἑρμόδωρον ἄνδρα ἑωυτῶν ὀνήιστον ἐξέβαλον φ ά ν τ ε ς· ἡμέων μηδὲ εἷς ὀνήιστος ἔστω* **4.** Λέγω/πρεσβεύω, say/maintain, Μέλισσος 8(2) *οἷόν περ ἐγώ φ η μ ι τὸ ἓν εἶναι* **5.** Λέγω/νομίζω, believe, Μέλισσος 8(2)-(4) *ὅσα φ α σ ὶ ν οἱ ἄνθρωποι εἶναι ἀληθῆ ... νῦν δέ φ α μ ε ν ὀρθῶς ὁρᾶν καὶ ἀκούειν καὶ συνιέναι ... φ α μ έ ν ο ι ς γὰρ εἶναι πολλὰ καὶ ἀίδια (?)* Ἀρχύτας 1.12 *πλαγὰν δ' ἔ φ α ν γίνεσθαι, ὄκκα τὰ φερόμενα ἀπαντιάξαντα ἀλλάλοις συμπέτῃ.* || **φασίν.** Λέγεται/θρυλεῖται, it said/is rumoured, Ξενοφάνης 7.3 *καί ποτέ μιν στυφελιζομένου σκύλακος παριόντα φ α σ ὶ ν ἐποικτῖραι καὶ τόδε φάσθαι ἔπος.* || **φατόν.** Ἐκφράσιμο, expressible, Παρμενίδης 8.8 *οὐ γὰρ φ α τ ὸ ν οὐδὲ νοητὸν ἔστιν ὅπως οὐκ ἔστι.* Πρβλ. *φάσκειν.*

**φανερὸς** (συνών. *δῆλος*, ἀντίθ. *ἀφανής*) **1.** Ἐπιφανής/περιφανής, illustrious/prominent, Ξενοφάνης 2.7 *ἀλλ' εἰ μὲν ταχυτῆτι ποδῶν νίκην τις ἄροιτο ... κε προεδρίην φ α ν ε ρ ὴ ν ἐν ἀγῶσιν ἄροιτο* **2.** Φανερὸς/ὁρατός, evident/visible, Ἡράκλειτος 54 *ἁρμονίη ἀφανὴς φ α ν ε ρ ῆ ς κρείττων* Ἀρχύτας 1.56 *ὅτι μὲν δὴ τοὶ ὀξεῖς φθόγγοι τάχιον κινέονται, οἱ δὲ βαρεῖς βράδιον, φ α ν ε ρ ὸ ν ἁμῖν ἐκ πολλῶν γέγονεν.* || **τὰ φανερά.** Ἡράκλειτος 56 *ἐξηπάτηνται ... οἱ ἄνθρωποι πρὸς τὴν γνῶσιν τ ῶ ν φ α ν ε ρ ῶ ν παραπλησίως Ὁμήρῳ.* ||**φανερῶς** (ἀντίθ. *λάθρῃ*). Φανερά, manifestly, Δημόκριτος 181.5 *λάθρῃ μὲν γὰρ ἁμαρτέειν εἰκὸς τὸν εἰργμένον ἀδικίης ὑπὸ νόμου, τὸν δὲ ἐς τὸ δέον ἠγμένον πειθοῖ οὐκ εἰκὸς οὔτε λάθρῃ οὔτε φ α ν ε ρ ῶ ς ἔρδειν τι πλημμελές.*

**φανός.** Φανερὸς/φωτερός, visible/bright, Παρμενίδης 8.41 *καὶ τόπον ἀλλάσσειν διά τε χρόα φ α ν ὸ ν ἀμείβειν.* Πρβλ. *λαμπρός.*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ